βάραθρον ἡγούμενος, ὁ δ' ἁγνεύων ἄρρενος ἔρωτος ἐς γυναῖκας ἐπτόητο. δυοῖν οὖν μαχομένοιν παθοῖν ἀγωνοθετήσας ἅμιλλαν οὐδ' ἂν εἰπεῖν δυναίμην ὡς ὑπερηυφράνθην· καί μοι τὰ τῶν λόγων ἴχνη ταῖς ἀκοαῖς ἐνεσφράγισται σχεδὸν ὡς ἀρτίως εἰρημένα. πᾶσαν οὖν ὑποτιμήσεως ἀφορμὴν ἐκποδὼν ἀποθέμενος ἃ παρ' ἀμφοῖν ἤκουσα λεγόντοιν κατ' ἀκριβὲς ἐπέξειμί σοι.

ΘΕΟΜΝΗΣΤΟΣ

Καὶ μὴν ἔγωγε ἐπαναστὰς ἔνθεν ἀπαντικρὺ καθεδοῦμαί σου,
δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων.

σὺ δ' ἡμῖν τὰ πάλαι κλέα τῆς ἐρωτικῆς διαφορᾶς μελῳδίᾳ περαίνειν.

ΛΥΚΙΝΟΣ

6 Ἐπ' Ἰταλίαν μοι διανοουμένῳ ταχυναυτοῦν σκάφος εὐτρέπιστο τούτων τῶν δικρότων, οἷς μάλιστα χρῆσθαι Λιβυρνοὶ δοκοῦσιν ἔθνος Ἰονίῳ κόλπῳ παρῳκισμένον. ὡς δ' ἐνῆν, πάντας ἐπιχωρίους θεοὺς προσκυνήσας καὶ Δία ξένιον ἵλεω συνεφάψασθαι τῆς ἀποδήμου στρατείας ἐπικαλεσάμενος ἀπ' ἄστεος ὀρικῷ ζεύγει κατῄειν ἐπὶ θάλασσαν· εἶτα τοὺς παραπέμποντάς με δεξιωσάμενος—ἠκολούθει δὲ παιδείας λιπαρὴς ὄχλος, οἳ συνεχὲς ἡμῖν ἐντυγχάνοντες ἀνιαρῶς διεζεύγνυντο—τῆς πρύμνης οὖν ἐπιβὰς ἐγγὺς ἐμαυτὸν ἵδρυσα τοῦ κυβερνήτου. καὶ ῥοθίῳ τῷ τῶν ἐλατήρων μετὰ μικρὸν ἀπὸ τῆς γῆς ἀναχθέντες, ἐπειδὴ μάλα καὶ κατόπιν ἡμᾶς ἐποίμαινον αὖραι, τὸν ἱστὸν ἐκ τῶν μεσοκοίλων ἄραντες καρχησίῳ τὸ κέρας προσεστείλαμεν· εἶτ' ἀθρόας κατὰ τῶν κάλων τὰς ὀθόνας ἐκχέαντες ἠρέμα πιμπλαμένου τοῦ λίνου κατ' οὐδὲν οἶμαι βέλους ἐλάττονι ῥοίζῳ διιπτάμεθα βαρὺ